ΤΟ ΒΙΒΛΙΟΝ ΤΗΣ ΓΕΝΕΣΕΩΣ

Η ΠΕΡΙ ΔΗΜΙΟΥΡΓΙΑΣ ΔΙΗΓΗΣΙΣ (1,1-2,3)

ΜΕΤΑΦΡΑΣΙΣ ΤΩΝ ΕΒΔΟΜΗΚΟΝΤΑ

ΚΕΦ 1.— 1 Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς
τὸν οὐρανὸν καὶ τὴν γῆν. 2 ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. 3 καὶ εἶπεν ὁ Θεός Γενηθήτω φῶς. καὶ ἐγένετο φῶς 4 καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν. καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. 5 καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσεν νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα μία.

6 Καὶ εἶπεν ὁ Θεός Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως. 7 καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. 8 καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα δευτέρα.

9 Καὶ εἶπεν ὁ Θεός Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτως. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. 10 καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσεν θαλάσσας. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. — 11 καὶ εἶπεν ὁ Θεός Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. 12 καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. 13 καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα τρίτη.

14 Καὶ εἶπεν ὁ Θεός Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς

ΜΕΤΑΦΡΑΣΙΣ ΔΙΩΡΘΩΜΕΝΟΥ ΕΒΡΑΪΚΟΥ

ΚΕΦ 1.— 1 Κατ' ἀρχὰς ἐδημιούργησεν ὁ Θεὸς
τὸν ουρανὸν καὶ τὴν γῆν. 2 Ἀλλ' ἡ γῆ ἦτο ἔρημος καὶ ἄμορφος καὶ σκότος ἐκάλυπτε τὴν ἄβυσσον, ἐνῷ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐφέρετο ἐπὶ τῆς ἐπιφανείας τῶν ὑδάτων. 3 Τότε εἶπεν ὁ Θεός· «Ἂς γίνῃ φῶς». Καὶ ἐφάνη φῶς.

4 Καὶ εἶδεν ὁ Θεὸς ὅτι τὸ φῶς ἦτο καλόν. Ἐν συνεχείᾳ δὲ ἐχώρισεν ὁ Θεὸς τὸ φῶς ἀπὸ τὸ σκότος. 5 Καὶ τὸ μὲν φῶς ὠνόμασεν ὁ Θεὸς ἡμέραν, τὸ δὲ σκότος ὠνόμασε νύκτα. Οὕτω ἔγινεν ἑσπέρα, ἔγινε πρωί· ἡμέρα πρώτη. 6 Καὶ τότε εἶπεν ὁ Θεός· «Ἂς γίνῃ οὐράνιος θόλος ἐν μέσῳ τῶν ὑδάτων, διά νὰ διαχωρίζῃ τὰ ὕδατα εἰς δύο μέρη». Καὶ πράγματι ἔγινεν ὅπως εἶπε. 7 Κατεσκεύασε δηλαδὴ ὁ Θεὸς τὸν οὐράνιον θόλον, διαχωρίζων οὕτω τὰ ὕδατα, τὰ εὑρισκόμενα ὑποκάτω τοῦ οὐρανίου θόλου ἀπὸ τὰ ὕδατα τὰ ὑπεράνω αὐτοῦ. 8 Τὸν οὐράνιον τοῦτον θόλον ὠνόμασεν ὁ Θεὸς οὐρανόν. Οὕτω ἔγινεν ἑσπέρα, ἔγινε πρωί· ἡμέρα δευτέρα.

9 Μετὰ ταῦτα εἶπεν ὁ Θεός· «Ἂς συναχθοῦν τὰ ὕδατα, τὰ εὑρισκόμενα ὑποκάτω τοῦ οὐρανοῦ, εἰς ἕν μέρος, διά νὰ ἐμφανισθῇ ἡ ξηρά». Καὶ ἔγινεν ὅπως εἶπε. 10 Καὶ ὠνόμασεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, τὰ δὲ συναχθέντα ὕδατα θαλάσσας. Τοῦτο δὲ ἐφάνη καλὸν εἰς τὸν Θεόν.

11 Καὶ εἶπεν ὁ Θεός· «Ἂς βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν, φυτὰ σπερματοφόρα καὶ καρποφόρα δένδρα, τὰ ὁποῖα νὰ φέρουν καρποὺς τοῦ εἴδους των, περιέχοντας τὰ σπέρματά των, ἐπὶ τῆς γῆς». Καὶ ἔγινεν ὅπως εἶπεν. 12 Ἡ γῆ δηλαδὴ παρήγαγε χόρτον χλωρόν, τὰ διάφορα εἴδη τῶν σπερματοφόρων φυτῶν καὶ τὰ διάφορα εἴδη τῶν δένδρων, τὰ ὁποῖα ἐμπεριέχουν τοὺς σπόρους των. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καὶ τοῦτο ἦτο καλόν. 13 Οὕτω ἔγινεν ἑσπέρα, ἔγινε πρωί· ἡμέρα τρίτη.

14 Μετὰ ταῦτα εἶπεν ὁ Θεός· «Ἂς γίνουν φωστῆρες εἰς τὸν θόλον τοῦ οὐρανοῦ, διά νὰ διαχωρίζουν τὴν ἡμέραν ἀπὸ τὴν νύκτα· ἂς χρησιμεύουν οὗτοι ὡς σημεῖα, ὡς καθωρισμένοι καιροὶ (ἑορτῶν), ὡς ἡμέραι καὶ ἔτη· 15 καὶ ἂς εἶναι ὡς

1 Ἰωάν. 1.1,2. Ἑβρ. 1.10. Ψαλ. 8.3 33.6 89.11,12 102.25 136.5 146.6. Ἡσα. 44.24. Ἱερ. 10.12 51.15. Ζαχ. 12.1. Πραξ. 14.15 17.24. Κολ. 1.16, 17. Ἑβρ. 11.3. Ἀποκ. 4.11 10.6. **2** Ψαλ. 33.6. Ἡσα. 40.13,14. **3** Ψαλ. 33.9. Κορ. Β' 4.6. **5** Ψαλ. 74.16 104.20. **6** Ἰὼβ 37.18. Ψαλ. 136.5. Ἱερ. 10.12 51.15. **7** Παρ. 8.28. Ψαλ. 148.4. **9** Ἰὼβ 26.10 38.8. Ψαλ. 33.7 95.5 104.9 136.6. Παρ. 8.29. Ἱερ.5. 22. Πέτρ. Β' 3.5. **11** Ἑβρ. 6.7. Λουκ. 6.44. **14** Δευτ. 4.19. Ψαλ. 74.16 136.7. Ψαλ. 74.17 104.19.

φαῦσιν τῆς γῆς τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς 15 καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. 16 καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. 17 καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς 18 καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. 19 καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα τετάρτη.

20 Καὶ εἶπε ὁ Θεός Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτως. 21 καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγεν τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. 22 καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. 23 καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα πέμπτη.

24 Καὶ εἶπεν ὁ Θεός Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτως. 25 καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος καὶ τὰ κτήνη κατὰ γένος καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. — 26 καὶ εἶπεν ὁ Θεός Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. 27 καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. 28 καὶ ηὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. 29 καὶ εἶπεν ὁ Θεός Ἰδοὺ δέδωκα ὑμῖν πᾶν χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου — ὑμῖν ἔσται εἰς βρῶσιν— 30 καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι φωστῆρες εἰς τὸν δόλον τοῦ οὐρανοῦ, διὰ νὰ ρίπτουν φῶς ἐπὶ τῆς γῆς. Καὶ ἔγινεν ὅπως εἶπεν. 16 Ἐδημιούργησε τοὺς δύο μεγάλους φωστῆρας· τὸν μὲν μεγαλύτερον φωστῆρα διὰ νὰ ἐξουσιάζῃ τῆς ἡμέρας, τὸν δὲ μικρότερον φωστῆρα, διὰ νὰ ἐξουσιάζῃ τῆς νυκτός· ἐδημιούργησεν ἐπίσης καὶ τοὺς ἀστέρας. 17 Ἔθεσε δὲ αὐτοὺς ὁ Θεὸς εἰς τὸν οὐράνιον δόλον, 18 διὰ νὰ εἶναι κυρίαρχοι τῆς ἡμέρας καὶ τῆς νυκτός καὶ νὰ διαχωρίζουν τὸ φῶς ἀπὸ τὸ σκότος. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καὶ τοῦτο ἦτο καλόν. 19 Οὕτω ἔγινεν ἑσπέρα, ἔγινε πρωί· ἡμέρα τετάρτη.

20 Καὶ εἶπε πάλιν ὁ Θεός· «Ἂς γεμίσουν τὰ ὕδατα ἀπὸ πλήθη ζώντων ὀργανισμῶν καὶ πτηνὰ ἂς πετοῦν ὑπεράνω τῆς γῆς πρὸς τὸν ἀνοικτὸν χῶρον τοῦ οὐρανίου δόλου». Καὶ ἔγινεν ὅπως εἶπεν. 21 Ἐδημιούργησε δηλαδὴ ὁ Θεὸς τὰ μεγάλα θαλάσσια κήτη καὶ ὅλα τὰ ποικίλα εἴδη τῶν διολισθαινόντων ζώων, ἀπὸ τὰ ὁποῖα εἶναι γεμᾶτα τὰ ὕδατα, καὶ ὅλα τὰ διάφορα εἴδη τῶν πτερωτῶν ζώων. Εἶδε δὲ ὁ Θεὸς ὅτι καὶ τοῦτο ἦτο καλόν· 22 καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεός, λέγων· «καρποφορεῖτε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα τῶν θαλασσῶν καὶ τὰ πτηνὰ ἂς πληθύνωνται ἐπὶ τῆς γῆς». 23 Οὕτω ἔγινεν ἑσπέρα, ἔγινε πρωί· ἡμέρα πέμπτη.

24 Τότε εἶπεν ὁ Θεός· «Ἂς γεννήσῃ ἡ γῆ τὰ διάφορα εἴδη τῶν ζώντων ὀργανισμῶν, τὰ διάφορα εἴδη τῶν κατοικιδίων ζώων, τῶν ἑρπετῶν καὶ τῶν ἀγρίων θηρίων τῆς γῆς». Οὕτω καὶ ἔγινεν. 25 Ἔκαμε δηλαδὴ ὁ Θεὸς τὰ ποικίλα εἴδη τῶν ἀγρίων θηρίων τῆς γῆς, τὰ διάφορα εἴδη τῶν κατοικιδίων ζώων καὶ ὅλα τὰ ποικίλα εἴδη τῶν ἑρπετῶν τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καὶ τοῦτο ἦτο καλόν.

26 Τότε εἶπεν ὁ Θεός· «Ἂς πλάσωμεν ἄνθρωπον κατὰ τὴν εἰκόνα καὶ τὴν ὁμοίωσιν ἡμῶν καὶ ἂς δεσπόζῃ ἐπὶ τῶν ἰχθύων τῆς θαλάσσης, τῶν πτηνῶν τοῦ οὐρανοῦ, τῶν κατοικιδίων ζώων, τῶν ἀγρίων θηρίων καὶ ὅλων τῶν ἑρπετῶν τῆς γῆς». 27 Οὕτω ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον κατὰ τὴν μορφὴν του· ἔκαμεν αὐτὸν μὲ μορφὴν θεϊκήν· ἔπλασε δὲ ἕν ἄρρεν καὶ ἓν θῆλυ. 28 Καὶ τότε ηὐλόγησεν αὐτοὺς ὁ Θεὸς καὶ εἶπεν εἰς αὐτοὺς ὁ Θεός· «Καρποφορεῖτε καὶ πληθύνεσθε, γεμίσατε τὴν γῆν καὶ καθυποτάξατε αὐτήν· κυριαρχεῖτε ἐπὶ τῶν ἰχθύων τῆς θαλάσσης, τῶν πτηνῶν τοῦ ἀέρος καὶ ἐπὶ ὅλων τῶν ζώντων ὀργανισμῶν, οἱ ὁποῖοι κινοῦνται ἐπὶ τῆς γῆς».

29 Καὶ εἶπε τότε ὁ Θεός· «Ἰδού, σᾶς ἔδωκα ὅλα τὰ σπερματοφόρα φυτά, τὰ ὁποῖα εὑρίσκονται ἐφ' ὁλοκλήρου τῆς ἐπιφανείας τῆς γῆς, καὶ ὅλα τὰ δένδρα τὰ ὁποῖα παράγουν σπερματοφόρους καρπούς· ὅλα αὐτὰ θὰ εἶναι ἰδικά σας πρὸς διατροφήν. 30 Εἰς ὅλα τὰ ἄγρια θηρία τῆς γῆς, εἰς

16 Ψαλ. 136.7,8,9 148.3,5. Ψαλ. 8.3. Ἰώβ 38.7. **18** Ἱερ. 31.35. **21** κεφ. 6.20 7.14 8.19 Ψαλ. 104.26. **22** κεφ. 8.17. **26** κεφ. 5.1 9.6. Ψαλ. 100.3. Ἐκκλ. 7.29. Πράξ. 17.26, 28,29. Κορ. Α' 11.7. Ἐφεσ. 4.24. Κολ. 3.10. Ἰακ. 3.9. κεφ. 9.2. Ψαλ. 8.6. **27** Κορ. Α' 11.7. κεφ. 5.2. Ματθ. 19.4. Μάρκ. 10.6. **28** κεφ. 9. 1,7. Λευιτ. 26.9. Ψαλ. 127.3 128.3,4. **29** κεφ. 9.3. Ἰώβ 36.31. Ψαλ. 104.14,15 136.25 146.7. Πράξ. 14.17. **30** Ψαλ. 145.15,16 147.9. Ἰώβ 38,41.

τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ τῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτως. 31 καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα ἕκτη.

ΚΕΦ 2.—1 Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. 2 καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησεν, καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησεν. 3 καὶ ηὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

ὅλα τὰ πτηνὰ τοῦ ἀέρος καὶ εἰς ὅλα τὰ ἑρπετὰ τῆς γῆς, εἰς τὰ ὁποῖα ὑπάρχει πνοὴ μὲ ζωήν, δίδω ὅλα τὰ χλωρὰ φυτὰ πρὸς διατροφήν». Οὕτω καὶ ἔγινεν.

31 Καὶ εἶδεν ὁ Θεὸς ὅτι πᾶν ὅ,τι ἔκαμεν, ἦτο πολὺ καλόν. Καὶ ἔγινεν ἑσπέρα, ἔγινε πρωί· ἡμέρα ἕκτη.

ΚΕΦ 2.— 1 Κατὰ τὸν τρόπον αὐτὸν ἐπερατώθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ 1 ὅλη ἡ στρατιά των. 2 Τὴν ἑβδόμην ἡμέραν ὁ Θεὸς ἐτερμάτισε τὸ ἔργον ποὺ εἶχε κάμει. Κατὰ τὴν ἑβδόμην δὲ ἡμέραν ἀνεπαύθη ἀπὸ τὴν ἐργασίαν ποὺ εἶχε κάμει. 3 Ηὐλόγησε δὲ ὁ Θεὸς τὴν ἑβδόμην ἡμέραν καὶ ἡγίασεν αὐτήν, διότι κατ' αὐτὴν ἀνεπαύθη ἀπὸ ὅλην τὴν ἐργασίαν, διὰ τῆς ὁποίας ἐπραγμάτωσεν ὁ Θεὸς τὴν δημιουργίαν.

Η ΠΕΡΙ ΔΗΜΙΟΥΡΓΙΑΣ ΚΑΙ ΠΤΩΣΕΩΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΔΙΗΓΗΣΙΣ (2,4-3,24)

Ἡ δημιουργία τοῦ ἀνθρώπου

4 Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν 5 καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν, 6 πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζεν πᾶν τὸ πρόσωπον τῆς γῆς. 7 καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

4 Ἰδοὺ ἡ ἱστορία τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατὰ τὴν δημιουργίαν των.

Τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἔκαμε Κύριος ὁ Θεὸς τὴν γῆν καὶ τὸν οὐρανόν, 5 δὲν ὑπῆρχον ἀκόμη βλαστήσει φυτὰ τοῦ ἀγροῦ καὶ δὲν εἶχον ἀκόμη βλαστήσει φυτὰ τοῦ ἀγροῦ· διότι δὲν εἶχεν ἀποστείλει Κύριος ὁ Θεὸς βροχὴν ἐπὶ τῆς γῆς καὶ δὲν ὑπῆρχεν ἄνθρωπος, διὰ νὰ καλλιεργήσῃ τὸ ἔδαφος 6 καὶ νὰ ἀναβιβάσῃ ἐκ τῆς γῆς τὰ ρέοντα ὕδατα, ποτίζων οὕτω τὴν ἐπιφάνειαν τοῦ ἐδάφους. 7 Τότε ἔπλασε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον ἀπὸ τὸ χῶμα τοῦ ἐδάφους καὶ ἐφύσησεν εἰς τοὺς ρώθωνάς του πνοὴν ζωῆς, καὶ οὕτω ὁ ἄνθρωπος ἀπέβη ψυχὴ ζῶσα.

Ὁ κῆπος τῆς Ἐδέμ

8 Καὶ ἐφύτευσεν κύριος ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν. 9 καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. 10 ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. 11 ὄνομα τῷ ἑνὶ Φισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ, ἐκεῖ οὗ ἐστιν τὸ χρυσίον· 12 τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. 13 καὶ ὄνο-

8 Ἔπειτα ἐφύτευσε Κύριος ὁ Θεὸς κῆπον εἰς τὴν Ἐδέμ, πρὸς Ἀνατολάς, καὶ ἔθεσεν ἐκεῖ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασεν. 9 Ἔκαμε δὲ Κύριος ὁ Θεὸς νὰ βλαστήσουν ἀπὸ τὴν γῆν ὅλα τὰ εἴδη τῶν δένδρων, τὰ ὁποῖα εἶναι εὐχάριστα εἰς τὴν ὅρασιν καὶ καλὰ πρὸς βρῶσιν, καθὼς ἐπίσης καὶ τὸ δένδρον τῆς ζωῆς εἰς τὸ μέσον τοῦ κήπου καὶ τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ.

10 Ἐξήρχετο δὲ ἐκ τῆς Ἐδὲμ ποταμὸς διὰ νὰ ποτίζῃ τὸν κῆπον καὶ ἀπὸ ἐκεῖ ἐχωρίζετο εἰς τέσσαρας βραχίονας. 11 Ὁ πρῶτος ὠνομάζετο Φισὼν (ὁ περιρρέων ὁλόκληρον τὴν γῆν Ἀβιλά, ὅπου ὑπάρχει χρυσός — 12 εἶναι δὲ ἐκλεκτὸς ὁ χρυσὸς τῆς χώρας ἐκείνης — καὶ βδέλλιον καὶ ὀνυξ)· 13 ὁ

31 Ψαλ. 104.24. Τιμ. Α' 4.4. **1** Ψαλ. 33.6. **2** Ἐξόδ. 20.11 31.17. Δευτ. 5.14. Ἑβρ. 4.4. **3** Νεεμ 9.14. Ἡσα. 58.13. **4** κεφ. 1.1. Ψαλ. 90.1,2. **5** κεφ. 1.12. Ψαλ. 104.14. Ἰώβ 38.26,27,28. κεφ. 3.23. **7** κεφ. 3.19,23. Ψαλ. 103.14. Ἐκκλ. 12.7. Ἡσα. 64.8. Κορ. Α' 15.47. Ἰώβ 33.4. Πράξ. 17.25. κεφ. 7.22. Ἡσα. 2.22. Κορ. Α' 15.45. **8** κεφ. 13.10 Ἡσα. 51.3. Ἰεζεκ. 28.13. Ἰωὴλ 2.3. κεφ. 4.16. Βασ. Β' 19.12. Ἰεζεκ. 27.23. κεφ. 3.24. στιχ. 15. **9** Ἰεζεκ. 31.8. κεφ. 3.22. Παρ. 3.18 11.30. Ἀποκ. 2.7 22.2,14. στιχ. 17. **11** κεφ. 25.18. **12** Ἀριθ. 11.7.

μα τῷ ποταμῷ τῷ δευτέρῳ Γηών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. 14 καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος Εὐφράτης.

15 Καὶ ἔλαβεν Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασεν, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. 16 καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, 17 ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.

18 Καὶ εἶπεν Κύριος ὁ Θεός Οὐ καλόν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. 19 καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν, τί καλέσει αὐτά, καὶ πᾶν, ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. 20 Καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσιν τοῖς κτήνεσιν καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ, τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ.— 21 καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν· καὶ ἔλαβεν μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσεν σάρκα ἀντ' αὐτῆς. 22 καὶ ᾠκοδόμησεν Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ. 23 καὶ εἶπεν Ἀδὰμ Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρός αὐτῆς ἐλήμφθη αὕτη. 24 ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. 25 καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

ΚΕΦ 3.—1 Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν Κύριος ὁ Θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Τί ὅτι εἶπεν ὁ Θεὸς Οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; 2 καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει Ἀπὸ καρποῦ ξύλου τοῦ παραδείσου φαγόμεθα, 3 ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὃ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός Οὐ φάγεσθε ἀπ' αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. 4 καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Οὐ θανάτῳ ἀποθανεῖσθε· 5 ᾔδει γὰρ ὁ Θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηδεύτερος ποταμὸς ὠνομάζετο Γηών (ὁ περιρρέων ὁλόκληρον τὴν χώραν Χούς)· 14 ὁ τρίτος ποταμὸς ὠνομάζετο Τίγρης (ὁ ῥέων ἀνατολικῶς τῆς Ἀσσυρίας)· καὶ ὁ τέταρτος ποταμὸς ἦτο ὁ Εὐφράτης.

15 Ἔλαβε δὲ Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον καὶ ἔβαλεν αὐτὸν εἰς τὸν κῆπον τῆς Ἐδὲμ διὰ νὰ τὸν καλλιεργῇ καὶ νὰ τὸν περιποιῆται· 16 ἔδωσε δὲ πρὸς τὸν ἄνθρωπον Κύριος ὁ Θεὸς τὴν ἐντολὴν ταύτην· «εἶσαι ἐλεύθερος νὰ τρώγῃς ἀπὸ πᾶν δένδρον εἰς τὸν κῆπον, 17 ἀλλὰ δὲν ἐπιτρέπεται νὰ φάγῃς ἀπὸ τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, διότι ἐξάπαντος θ' ἀποθάνῃς τὴν ἡμέραν κατὰ τὴν ὁποίαν θὰ φάγῃς ἐξ αὐτοῦ».

18 Εἶπε δὲ μετὰ τοῦτο ὁ Κύριος, «δὲν εἶναι καλὸν νὰ μένῃ ὁ ἄνθρωπος μόνος· θὰ τοῦ κατασκευάσω ἕνα βοηθὸν ὅμοιον μὲ αὐτόν».

19 Οὕτω Κύριος ὁ Θεὸς ἔπλασεν ἐκ τῆς γῆς ὅλα τὰ ἄγρια θηρία καὶ ὅλα τὰ πετεινὰ τοῦ ἀέρος, καὶ ἔφερεν αὐτὰ εἰς τὸν ἄνθρωπον διὰ νὰ ἴδῃ πῶς θὰ τὰ ὀνομάσῃ· ὁποιονδήποτε δὲ ὄνομα θὰ ἔδιδεν εἰς πᾶν ζῶν δημιούργημα, τοῦτο θὰ ἦτο τὸ ὄνομά του. 20 Ἔδωσε λοιπὸν ὁ ἄνθρωπος ὀνόματα εἰς ὅλα τὰ κατοικίδια ζῷα, τὰ πτηνὰ τοῦ ἀέρος καὶ ὅλα τὰ ἄγρια θηρία· δὲν εὑρίσκετο ὅμως βοηθὸς τοῦ ἀνθρώπου ὅμοιος μὲ αὐτόν. 21 Τότε Κύριος ὁ Θεὸς ἐπέφερεν εἰς τὸν ἄνθρωπον ἔκστασιν, καθὼς δὲ ἐκοιμᾶτο, ἔλαβε μίαν τῶν πλευρῶν του, κλείσας τὴν θέσιν της μὲ σάρκα. 22 Μετεσκεύασε δὲ Κύριος ὁ Θεὸς τὴν πλευράν, τὴν ὁποίαν ἔλαβεν ἐκ τοῦ ἀνθρώπου, εἰς γυναῖκα καὶ τὴν ἔφερεν εἰς τὸν ἄνθρωπον.

23 Εἶπε δὲ τότε ὁ ἄνθρωπος,
«τοῦτο πλέον εἶναι ὀστοῦν ἐκ τῶν ὀστέων μου
καὶ σὰρξ ἐκ τῆς σαρκός μου·
θὰ ὀνομασθῇ γυνή (ἀνδρίς),
διότι ἐλήφθη ἐκ τοῦ ἀνδρός».

24 Διὰ τοῦτο ὁ ἀνὴρ ἐγκαταλείπει τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ προσκολλᾶται εἰς τὴν σύζυγόν του τόσον, ὥστε ἀποτελοῦν μίαν σάρκα.
25 Ἦσαν δὲ καὶ οἱ δύο, ὁ ἀνὴρ καὶ ἡ σύζυγός του, γυμνοί, ἀλλὰ δὲν ᾐσχύνοντο.

ΚΕΦ 3.— 1 Ἐξ ὅλων δὲ τῶν ἀγρίων θηρίων, τὰ ὁποῖα ἔπλασε Κύριος ὁ Θεὸς εὐφυέστερος ἦτο ὁ ὄφις. 2 Εἶπε δὲ πρὸς τὴν γυναῖκα· «Εἶπε πράγματι ὁ Θεὸς νὰ μὴ φάγητε ἀπὸ πᾶν δένδρον τοῦ κήπου;». Ἡ δὲ γυνὴ ἀπήντησεν εἰς τὸν ὄφιν· «Δυνάμεθα νὰ φάγωμεν ἀπὸ τοὺς καρποὺς τῶν δένδρων τοῦ κήπου· 3 μόνον δὲ διὰ τὸν καρπὸν τοῦ δένδρου τοῦ εὑρισκομένου εἰς τὸ μέσον τοῦ κήπου εἶπεν ὁ Θεός, «νὰ μὴ φάγητε ἀπὸ αὐτὸν οὔτε νὰ τὸν ἐγγίσητε, διὰ νὰ μὴ ἀποθάνητε».

4 Ἀλλ' ὁ ὄφις εἶπε πρὸς τὴν γυναῖκα· «δὲν θὰ ἀποθάνητε καθόλου· 5 διότι γνωρίζει ὁ Θεὸς ὅτι τὴν ἡμέραν ἀκριβῶς κατὰ τὴν ὁποίαν θὰ φάγητε ἐξ αὐτοῦ, θὰ διανοιγοῦν οἱ ὀφθαλμοί σας καὶ θὰ εἶσθε ὡς Θεοί, διακρίνοντες τὸ καλὸν ἀπὸ τὸ κακόν».

15 στίχ. 8. **17** κεφ. 3.1,3,11,17. στίχ. 9. κεφ. 3.3,19. Ρωμ. 6.23. Κορ. Α' 15.56. Ἰακ. 1.15. Ἰωάν. Α' 5.16. **18** κεφ. 3.12. Κορ. Α' 11.9. Τιμ. Α' 2.13. **19** κεφ. 1.20,24. Ψαλ. 8.6. κεφ. 6.20. **21** κεφ. 15.12. Σαμ. Α' 26.12. **22** Παρ. 18.22. Ἑβρ. 13.4. **23** κεφ. 29.14. Κριτ. 9.2. Σαμ. Β' 5.1 19.13. Ἐφεσ. 5.30. Κορ. Α' 11.8. **24** κεφ. 31.15. Ψαλ. 45.10. Ματθ. 19.5. Μαρκ. 10.7. Α' Κορ. 6.16. Ἐφεσ. 5.31. **25** κεφ. 3.7,10,11. Ἐξόδ. 32.25. Ἡσα. 47.3. **1** Ματθ. 10.16. Κορ. Β' 11.12. Ἀποκ. 12.9 20.2. **3** κεφ. 2.17. **4** στίχ. 13. Κορ. Β' 11.3. Τιμ. Α' 2.14. **5** στίχ. 7. Πράξ. 26.18.

ρόν. ὁ καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστιν τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν· καὶ ἔδωκεν καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς, καὶ ἔφαγον. 7 καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

8 Καὶ ἤκουσαν τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὁ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. 9 καὶ ἐκάλεσεν Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν αὐτῷ Ἀδάμ, ποῦ εἶ; 10 καὶ εἶπεν αὐτῷ Τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. 11 καὶ εἶπεν αὐτῷ Τίς ἀνήγγειλέν σοι ὅτι γυμνός εἶ; μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ' αὐτοῦ, ἔφαγες; 12 καὶ εἶπεν ὁ Ἀδάμ Ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. 13 καὶ εἶπεν Κύριος ὁ Θεὸς τῇ γυναικί Τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνή Ὁ ὄφις ἠπάτησέν με, καὶ ἔφαγον. 14 καὶ εἶπεν Κύριος ὁ Θεὸς τῷ ὄφει Ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. 15 καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. 16 καὶ τῇ γυναικὶ εἶπεν Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου, ἐν λύπαις τέξῃ τέκνα· καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. 17 τῷ δὲ Ἀδὰμ εἶπεν Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ' αὐτοῦ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· 18 ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. 19 ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου ἕως τοῦ ἀπορατρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήμφθης· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. — 20 καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναι-

6 Μόλις λοιπὸν ἀντελήφθη ἡ γυνὴ ὅτι τὸ δένδρον ἦτο καλὸν πρὸς βρῶσιν, εὐχάριστον εἰς τοὺς ὀφθαλμούς, καὶ ἐπὶ πλέον ὅτι τὸ δένδρον ἦτο ἐπιθυμητὸν ὡς παρέχον γνῶσιν, ἔλαβεν ἀπὸ τὸν καρπόν του καὶ ἔφαγεν, ἔδωσε δὲ καὶ εἰς τὸν ἄνδρα της, ὁ ὁποῖος ἦτο μαζύ της, καὶ ἔφαγεν. 7 Τότε διηνοίγησαν οἱ ὀφθαλμοὶ καὶ τῶν δύο καὶ ἀντελήφθησαν ὅτι ἦσαν γυμνοί· οὕτω συνέρραψαν φύλλα συκῆς καὶ ἔκαμον δι' ἑαυτούς ζώνας.

8 Ὅταν ὅμως ἤκουσαν τὸν θόρυβον Κυρίου τοῦ Θεοῦ περιπατοῦντος εἰς τὸν κῆπον κατὰ τὸ δειλινόν, ὁ ἀνὴρ καὶ ἡ σύζυγός του ἐκρύβησαν ἀπὸ τὴν παρουσίαν Κυρίου τοῦ Θεοῦ μεταξὺ τῶν δένδρων τοῦ κήπου. 9 Ἐκάλεσε δὲ Κύριος ὁ Θεὸς τὸν ἄνδρα καὶ εἶπε πρὸς αὐτόν· «Ποῦ εἶσαι;» 10 Αὐτὸς δὲ ἀπήντησεν· «Ἤκουσα τὸν θόρυβόν σου εἰς τὸν κῆπον καὶ ἐφοβήθην, διότι ἤμην γυμνός· διὰ τοῦτο ἐκρύβην».

11 Εἶπε δέ· «Ποῖος σοῦ εἶπεν ὅτι ἦσο γυμνός; Μήπως ἔφαγες ἀπὸ τὸ δένδρον διὰ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς;».

12 Εἶπε δὲ ὁ ἀνήρ· «Ἡ γυνή, τὴν ὁποίαν ἔθεσες εἰς τὸ πλευρόν μου, μοῦ ἔδωσε καρπόν ἀπὸ τὸ δένδρον καὶ ἔφαγον».

13 Τότε Κύριος ὁ Θεὸς εἶπεν εἰς τὴν γυναῖκα· «τί ἔκαμες λοιπόν;». Ἡ δὲ γυνὴ ἀπήντησε· «μὲ ἠπάτησεν ὁ ὄφις καὶ ἔφαγον».

14 Οὕτω εἶπε Κύριος ὁ Θεὸς εἰς τὸν ὄφιν·

«Ἐπειδὴ ἔπραξες αὐτό,
θὰ εἶσαι τὸ πλέον κατηραμένον ἀπὸ ὅλα τὰ
καὶ ἀπὸ ὅλα τὰ ἄγρια θηρία. (ζῷα
Θὰ περιπατῇς ἐπὶ τῆς κοιλίας σου καὶ θὰ τρώ-
(γῃς χῶμα, ἐως ὅτου ζῇς.
15 Θὰ στήσω ἔχθραν μεταξὺ σοῦ καὶ τῆς γυναικὸς
καὶ μεταξὺ τῶν ἀπογόνων σου καὶ τῶν ἀπογό-
(νων της·
αὐτοὶ θὰ σὲ κτυποῦν εἰς τὴν κεφαλήν,
σὺ δὲ θὰ κτυπᾷς αὐτοὺς εἰς τὴν πτέρναν».
16 Πρὸς δὲ τὴν γυναῖκα εἶπε·
«Θὰ καταστήσω σφοδρούς τοὺς πόνους κατὰ
(τὴν τεκνοποίησίν σου·
θὰ κυοφορῇς μὲ πόνον·
σὺ δὲ θὰ εἶσαι ἀφωσιωμένη εἰς τὸν σύζυγόν
(σου,
ἐνῷ αὐτὸς θὰ εἶναι ἐξουσιαστής σου».
17 Πρὸς δὲ τὸν ἄνδρα εἶπεν·
«Ἐπειδὴ ἠκολούθησες τὰς ὑποδείξεις τῆς συ-
(ζύγου σου
καὶ ἔφαγες ἀπὸ τὸ δένδρον
διὰ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς,
κατηραμένη νὰ εἶναι ἡ γῆ ἐξ αἰτίας σου·
μὲ λύπην νὰ κερδίζῃς τὴν τροφήν σου ἐξ αὐ-
(τῆς,
ἕως ὅτου ζῇς·
18 νὰ σοῦ βλαστάνῃ ἀκάνθας καὶ τριβόλους,
ὥστε νὰ τρώγῃς ἄγρια φυτά.

6 Τιμ. Α' 2.16. στίχ. 12,17. **7** στίχ. 5. κεφ. 2.25. **8** Ἰώβ 38.1. Ἰώβ 31.33. Ἱερ. 23.24. Ἀμ. 9.3. **10** κεφ. 2.25. Ἐξόδ. 3.6. Ἰωάν. Α' 3.20. **12** κεφ. 2.18. Ἰώβ 31.33. Παροιμ. 28.13. **13** στίχ. 4. Κορ. Β' 11.3. Τιμ. Α' 2.14. **14** Ἐξόδ. 21.29,32. Ἡσ. 65.25. Μιχ. 7.17. **15** Ματθ. 3.7 13.38 23.33. Ἰωάν. 8.44. Πράξ. 13.10. Ἰωάν. Α' 3.8 Ψαλ. 132.11. Ἡσ. 7.14. Μιχ. 5.3. Ματθ. 1.23,25. Λουκ. 1.21,34, 35. Γαλ. 4.4. Ρωμ. 16.20. Κολ. 2.15. Ἑβρ. 2.14. Ἰωάν. Α' 5.5. Ἀποκ. 12.7,17. **16** Ψαλ. 48.6. Ἡσ. 13.8 21.3 Ἰωάν. 16.21. Τιμ. Α' 2.15. κεφ. 4.7. Κορ. Α' 11.3 14.34. Ἐφ. 5.22,23,24. Τιμ. Α' 2.11,12. Τίτ. 2.5. Πέτρ. Α' 3.1,5,6. **17** Σαμ. Α' 15.23. στίχ. 6. κεφ. 2.17. Ἐκκλ. 1.2,3. Ἡσα. 24.5,6. Ρωμ. 8.20. Ἰώβ 5.7. Ἐκκλ. 2.23. **18** Ἰώβ 31.40. Ψαλ. 104.14.

κὸς αὐτοῦ Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

21 Καὶ ἐποίησεν Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς.—22 καὶ εἶπεν ὁ Θεὸς Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. 23 καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήμφθη. 24 καὶ ἐξέβαλεν τὸν Ἀδὰμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξεν τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

19 Μὲ τὸν ἱδρῶτα τοῦ μετώπου σου θὰ κερδίζῃς τὸν ἄρτον σου,
ἕως ὅτου ἐπιστρέψῃς εἰς τὴν γῆν,
ἐφ' ὅσον ἀπὸ αὐτὴν ἐλήφθης·
διότι χῶμα εἶσαι
καὶ εἰς τὸ χῶμα πρέπει νὰ ἐπιστρέψῃς».

20 Ὠνόμασε δὲ ὁ Ἀδὰμ τὴν σύζυγόν του Εὔαν (Ζωήν), διότι ἦτο μήτηρ ὅλων τῶν ζώντων.

21 Κατεσκεύασε δὲ Κύριος ὁ Θεὸς διὰ τὸν ἄνδρα καὶ τὴν σύζυγόν του δερματίνους χιτῶνας καὶ τοὺς ἐνέδυσε.

22 Τότε εἶπε Κύριος ὁ Θεός· «ἰδού, ὁ Ἀδὰμ ἔγινεν ὡς εἷς ἐξ ἡμῶν, ὥστε νὰ διακρίνῃ τὸ καλὸν ἀπὸ τὸ κακόν· καὶ τώρα, ἂν ἁπλώσῃ τὴν χεῖρά του καὶ λάβῃ ἐπίσης τὸν καρπὸν τοῦ δένδρου τῆς ζωῆς καὶ τὸν φάγῃ, θὰ ζήσῃ αἰωνίως!».

23 Διὰ τοῦτο Κύριος ὁ Θεὸς ἐξέβαλεν αὐτὸν ἀπὸ τὸν κῆπον τῆς Ἐδὲμ διὰ νὰ καλλιεργῇ τὴν γῆν, ἐκ τῆς ὁποίας ἐλήφθη. 24 Ἐξεδίωξε τὸν Ἀδὰμ καὶ ἐτοποθέτησεν ἀνατολικῶς τοῦ Κήπου τῆς Ἐδὲμ τὰ Χερουβὶμ μὲ τὴν πυρίνην περιστρεφομένην ρομφαίαν διὰ νὰ φυλάττουν τὴν ὁδὸν πρὸς τὸ δένδρον τῆς ζωῆς.

ΟΙ ΠΡΩΤΟΙ ΑΠΟΓΟΝΟΙ ΤΟΥ ΑΔΑΜ (4,1-5,32)

ΚΕΦ 4.—1 Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν τὸν Κάϊν καὶ εἶπεν Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ. 2 καὶ προσέθηκεν τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ. καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν. 3 καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκεν Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ, 4 καὶ Ἄβελ ἤνεγκεν καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, 5 ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν. καὶ ἐλύπησεν τὸν Κάϊν λίαν, καὶ συνέπεσεν τῷ προσώπῳ. 6 καὶ εἶπεν Κύριος ὁ Θεὸς τῷ Κάϊν Ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσεν τὸ πρόσωπόν σου; 7 οὐκ, ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. 8 καὶ εἶπεν Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ Διέλθωμεν εἰς τὸ πεδίον. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ καὶ ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν. 9 καὶ εἶπεν ὁ Θεὸς πρὸς Κάϊν Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; ὁ δὲ εἶπεν Οὐ γινώσκω· μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ; 10 καὶ εἶπεν ὁ Θεός Τί ἐποίησας; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. 11 καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανεν τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου· 12 ὅτι

ΚΕΦ 4.—1 Συνευρέθη δὲ ὁ Ἀδὰμ μὲ τὴν σύζυγον του Εὔαν, αὕτη δὲ συνέλαβε καὶ ἔτεκε τὸν Κάϊν (ἀπόκτημα). Καὶ εἶπεν· «ἐπανεκέρδισα τὸν σύζυγόν μου· ὁ Κύριος εἶναι μαζύ μου!».

2 Βραδύτερον ἔτεκε τὸν ἀδελφόν του Ἄβελ. Ἦτο δὲ ὁ Ἄβελ ποιμήν, ἐνῷ ὁ Κάϊν ἦτο καλλιεργητὴς τοῦ ἐδάφους.

3 Μὲ τὴν πάροδον δὲ τοῦ χρόνου ὁ Κάϊν ἔφερε προϊόντα τοῦ ἐδάφους ὡς προσφορὰν εἰς τὸν Κύριον, 4 ἐνῷ ὁ Ἄβελ ἔφερε πρωτότοκα ἀπὸ τὸ ποίμνιόν του, τὰ παχέα μέρη ἐξ αὐτῶν. Ὁ δὲ Κύριος ἐπέβλεψεν εὐμενῶς ἐπὶ τὸν Ἄβελ καὶ τὴν προσφοράν του, 5 ἀλλὰ δὲν ἐπέβλεψεν ἐπὶ τὸν Κάϊν καὶ τὴν θυσίαν του. Διὰ τοῦτο ὠργίσθη καὶ ἔγινε κατηφὴς ὁ Κάϊν.

6 Τότε εἶπεν ὁ Κύριος πρὸς τὸν Κάϊν· «Διατί εἶσαι ὠργισμένος καὶ διατί εἶσαι κατηφής;

7 Ἐὰν ἔπραξες ὀρθῶς, δὲν θὰ ἔπρεπε νὰ ἦσο εὐτυχής; Ἀλλ' ἐὰν ὄχι, ἡ ἁμαρτία εἶναι κρυμμένη παρὰ τὴν θύραν. Καὶ ὅμως αὐτὸς εἶναι ἀφωσιωμένος εἰς σέ, σὺ δὲ τὸν ἐξουσιάζεις».

8 Εἶπε δὲ τότε ὁ Κάϊν πρὸς τὸν Ἄβελ, «ἂς μεταβῶμεν εἰς τὴν ὕπαιθρον». Ὡς δὲ ἦσαν εἰς τὴν ὕπαιθρον, ὁ Κάϊν ἐπετέθη κατὰ τοῦ ἀδελφοῦ του Ἄβελ καὶ τὸν ἐφόνευσε.

9 Τότε εἶπεν ὁ Κύριος πρὸς τὸν Κάϊν· «ποῦ εἶναι ὁ ἀδελφός σου Ἄβελ;». Αὐτὸς δὲ ἀπήντησε· «δὲν γνωρίζω· μήπως εἶμαι φύλαξ τοῦ ἀδελφοῦ μου;».

10 Εἶπε δὲ τότε· «τί ἔπραξες; Ἄκουσε! Τὸ αἷμα τοῦ ἀδελφοῦ σου κράζει πρός ἐμὲ ἀπὸ τὸ ἔδαφος.

19 Ἐκκλ. 1.13. Θεσσ. Β' 3.10. κεφ. 2.7. Ἰωβ 21.26 34.15. Ψαλ. 104.29. Ἐκκλ. 3.20 12.7. Ρωμ. 5.12. Ἑβρ. 9.27 **22** στίχ. 5. Ἡσα. 19.12 47.12,13. Ἱερ. 22.23. κεφ. 2.9. **23** κεφ. 4.2 9.20. **24** κεφ. 2.8. Ψαλ. 104.4. Ἑβρ. 1.7. **2** κεφ. 3.23 9.20. **3** Ἀριθ. 18.12. **4** Ἀριθ. 18.17. Παροιμ. 3.9. Ἑβρ. 11.4. **5** κεφ. 31.2. **7** κεφ. 3.16. **8** Ματθ. 23.35. Ἰωάν. Α' 3.12. Ἰουδ. 11. **9** Ψαλ. 9.12. Ἰωάν. 8.44. **10** Ἑβρ. 12.24. Ἀποκ. 6.10.